Ce livre qui porte au titre du 1er vol. le monogramme de Ramus, a appartenu à ce célèbre savant - Pierre de la Ramée - et les nombreuses notes des pages 2 à 20 sont de sa main. - Après avoir appartenu à Genty et à J. Lespine, il se trouvait dans la bibliothèque de mon oncle R. Dezeimeris, à Bordeaux. - Les trois ouvrages qu'il renferme sont rares, et en particulier celui mentionné ci-dessous par une note de Lespine.

Hesiodi Opuscula, Parisiis. 1543. cette édition est indiquée comme rare au Manuel du Libraire. On trouve à la suite le commentaire de Mélanchthon sur les livres de opere et die. Paris. 1543.

R. XVI 1423

# ἩΣΙΟ΄ΔΟΥ ΤΟΥ͂ ἈΣΚΡΑΙ΄ΟΥ ἜΡΓΑ ΚΑῚ ἩΜΕ΄ΡΑΙ.

Command your hand to guide your pen for death is ce



BIBLIOTHEQUE DE L'UNIVERSITE DE PARIS

De R...

ex officina Iac. Bogard.

ἐν λουκετίᾳ τῶν παρισίων.

1541.

many men of many minds many

EX LIBRIS
ΔΙΟΝ. ACH. GENTY

ACQUISITIONS
N° 63903

Hesiodus patria fuit κυμαῖος.
Κύμη urbs in aeolide i regione Asiae ex qua a patre Dio et matre Pycimede
in ascra beotiae oppidum deportatus est unde et ascraeus dictus
eius opera sunt Theogonia ἔργα καὶ ἡμέραι scutum et quaedam
plura quae non extant, fuit ut nonnullis placuit homero
antiquior, ut aliis aequalis, porphyrio aliique plurimi
iuniorem homero centum annis faciunt ita ut primam olympi-
ada trecentis solum duobus annis praecesserit.

Hoc opus παραινετικόν est et morale praecipue libro primo,
in quo praecepta tradit ad vitam recte instituendam sub persona
fratris persae et quo fraudat in haereditatis partitione,
invidia affectus et defraudatus.

# ἩΣΙΟΔΟΥ ΤΟΥ ἈΣΚΡΑΙΟΥ ἘΡΓΑ ΚΑΙ ἩΜΕΡΑΙ.

M

Οὖσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι,
δεῦτε δὴ ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι,
ὅν τε διὰ βροτοὶ ἄνδρες ὁμῶς, ἄφατοί τε φατοί τε,
ῥητοί τ' ἄρρητοί τε. Διὸς μεγάλοιο ἕκητι.
ῥεῖα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει.
ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει.
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει,
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
κλῦθι ἰδὼν ἀίων τε, δίκῃ δ' ἴθυνε θέμιστας
τύνη. ἐγὼ δέ κε Πέρσῃ ἐτήτυμα μυθησαίμην.
οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος. ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω. τὴν μέν κεν ἐπαινήσειε νοήσας.
ἡ δ' ἐπιμωμητή. διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει
σχετλίη. οὔτις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης
ἀθανάτων βουλῇσιν ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην, προτέρην μὲν ἐγείνατο νὺξ ἐρεβεννή.
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων
γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι, πολλὸν ἀμείνω.
ἥ τε καὶ ἀπάλαμνόν περ ὁμῶς ἐπὶ ἔργον ἐγείρει.

εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι, ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων·
καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.
ὦ πέρση· σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ·
μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι,
νείκε' ὀπιπεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧτινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει δημήτερος ἀκτήν·
τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις
κτήμασ' ἐπ' ἀλλοτρίοις. σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν, ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκαις, αἵ τ' ἐκ διὸς εἰσὶν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ' ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσαι.
νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι·
ῥηιδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσαιο
ὥστε σε κ' ἐς ἐνιαυτὸν ἔχειν, καὶ ἀεργὸν ἐόντα,
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,

ἔργα

transit ad alteram contentionem i. livorem et invidiam.

Totum et [illegible] in eadem casu saepe ponuntur apud graecos [illegible] mali gaudet

Tempestivus

Exagerat [illegible] dimidium plus [illegible] mediocritatem commendat quam ἥμισυ vocat, totum autem dicit id quod redundat in simplici et parabili victu in quo abest invidia [illegible] taxarunt, attica figura de qua Budaeus in commentariis.

Vide apud Gellium [illegible] secundo libri [illegible]

ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ἧσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ, τὸ μὲν αὖθις ἐῢς πάϊς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς παρὰ μητιόεντος
ἐν κοΐλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας;
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμόν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
ὣς ἔφατ', ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον. αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην,
καὶ πόθον ἀργαλέον καὶ γυιοβόρους μελεδώνας.
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον Ἀργειφόντην.
ὣς ἔφατ'· οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις

πασιθὼ ἀγλαΐα εὐ= φροσύνη·

quae tres esse dicuntur phoebi ministrae·

παρθένῳ αἰδοίῃ ἴκελον κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις ἀθήνη·
ἀμφὶ δέ οἱ χάριτές τε θεαὶ καὶ πότνια πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι·
πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε παλλὰς ἀθήνη·
ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος ἀργειφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
πανδώρην, ὅτι πάντες ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν πῆμ' ἀνδράσιν ἀλφηστῇσιν·
αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν ἀργειφόντην
δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ' ἐπιμηθεὺς
ἐφράσαθ' ὥς οἱ ἔειπε προμηθεύς, μήποτε δῶρον
δέξασθαι πὰρ ζηνὸς ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται·
αὐτὰρ ὁ δεξάμενος ὅτε δὴ κακὸν εἶχ', ἐνόησε·
πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ', ἀνθρώπων
νόσφιν ἄτερ κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο
νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι γῆρας ἔδωκαν·
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι·
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ', ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά·

μούνη

μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισι
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη. πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο
αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.
ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ, ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα ζεύς.
οὕτως οὔτι που ἔστι Διὸς νόον ἐξαλέασθαι.
εἰ δὲ θέλεις ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
εὖ καὶ ἐπισταμένως, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
ὡς ὁμόθεν γεγάασι θεοί, θνητοί τ' ἄνθρωποι.
χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν ὀλύμπια δώματ' ἔχοντες.
οἳ μὲν ἐπὶ κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν.
ὥστε θεοὶ δ' ἔζωον ἀκηδέα θυμὸν ἔχοντες
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος, οὐδέ τι δειλὸν
γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἳ δ' ἐθελημοὶ
ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσιν.
αὐτὰρ ἐπεί κεν τοῦτο γένος κατὰ γαῖα κάλυψεν,



Unde prouerbium spes seruat afflictos, et Illud spes alunt exules et Illud aegroto dum anima est spes est

cuius clypeus et lorica tegitur corio amaltheae caprae a qua educatus fuerat

ἠδὲ pro καί.

i. μητίετας quae accusa. fit interdum per metaplasmum μητίετα pro μητίετην. quae accusatiuo quia hic nominatiuo similis est ideo eius accentum retinet.

Aurea aetas sub Saturno

a verbo δμάω i. domo

ζείω zeo i. semen et spaltam suppeditans. vel ζωή i. vitam seu victum dans. vide apud Plinium capite octauo libri decimi octaui

Τοὶ μὲν δαίμονες εἰσὶ διὸς μεγάλου διὰ βουλάς,
ἐσθλοὶ ἐπιχθόνιοι φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα
ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.
δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα·
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων μέγα νήπιος ᾧ ἐνὶ οἴκῳ·
ἀλλ' ὅταν ἡβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον ἄλγε' ἔχοντες
ἀφραδίαις· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς
ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
ζεὺς κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
δεύτεροι· ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ' οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον, οἷσιν ἄρηος
ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον.

Ut scilicet liberales essent et divitias darent.

In pubertatem evasisset.

Transit ad pluralem numerum.

ἀτάσθαλος ἀπὸ τῆς ἄτης καὶ θάλλω. i. floreo qui in iniuriis floret.

ἤσθιον· ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν
ἄπλαστοι, μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσιν.
τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τ' οἶκοι.
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρησι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο
νώνυμοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
τοὺς μὲν, ἐφ' ἑπταπύλῳ Θήβῃ Καδμηΐδι γαίῃ
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο.
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
ἔνθ' ἤτοι τοὺς μὲν, θανάτου τέλος ἀμφεκάλυψε.
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης.
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι παρ' ὠκεανὸν βαθυδίνην
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν

τοῖς

a verbo πελάζω

Validis membris

Immanes a verbo ἐκπλήττω literis commutatis

Vel secunda cuius figurae ... est terminus

terra cadmeia boeotia olim dicta est. cadmeis terra sive cadmea et thebae cadmeae a cadmo agenoris filio qui thebas condidit. Oedipus filios duos reliquit eteoclem et polynicem

T. mors ultima linea ...

terra non longe a mauritania vide apud plinium capite trigesimo secundo libri sexti et capite vigesimo secundo ...

τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.
μηκέτ' ἔπειτ' ὤφελλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον. οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀιζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι. χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τε παῖδες.
οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ.
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι,
σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες. οὐδέ μὲν οἵγε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι. ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
οὔτ' ἀγαθοῦ. μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων. ἐπὶ δ' ὅρκον ὀμεῖται.
ζῆλος δ' ἀνθρώποισιν ὀιζυροῖσιν ἅπασιν
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.
καὶ τότε δὴ πρὸς ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,

λευ-

λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν, — masculinum pro foeminino ut τὼ χεῖρε attico more
ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ᾽ ἀνθρώπους
αἰδὼς καὶ νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ᾽ οὐκ ἔσσεται ἀλκή·
νῦν δ᾽ αἶνον βασιλεῦσ᾽ ἐρέω φρονέουσι καὶ αὐτοῖς·
ὧδ᾽ ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ᾽ ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἣ δ᾽ ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ᾽ ὀνύχεσσι,
μύρετο· τὴν δ᾽ ὅγ᾽ ἐπικρατέως πρὸς μῦθον ἔειπε·
δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων· — a λάσκω. i. sono.
τῇ δ᾽ εἶς ᾗ σ᾽ ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ᾽ αἴ κ᾽ ἐθέλω, ποιήσομαι ἠὲ μεθήσω.
ἄφρων δ᾽ ὅς κ᾽ ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν·
νίκης τε στέρεται, πρός τ᾽ αἴσχεσιν ἄλγεα πάσχει.
ὣς ἔφατ᾽ ὠκυπέτης ἴρηξ τανυσίπτερος ὄρνις·
ὦ πέρση, σὺ δ᾽ ἄκουε δίκης, μὴ δ᾽ ὕβριν ὄφελλε·
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ᾽ ὑπ᾽ αὐτῆς
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ᾽ ἑτέρηφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ᾽ ὑπὲρ ὕβριος ἴσχει, — Vide apud erasmum in proverbio malo accepto stultus sapit.
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω·
αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσιν·
τῆς δὲ δίκης ῥόθος ἑλκομένης ᾗ κ᾽ ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας·
ἣ δ᾽ ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν

Quintilianus capite ... αἶνον ... graeci vocant ubi agit de fabulis αἰσώπου ... et apologus ... quod vulpes aegroto cantat Leoni.

ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵ τέ μιν ἐξελάσουσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν·
οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις· λαοὶ δ' ἀνθοῦσιν ἐν αὐτῇ·
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος· οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς.
οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
οὐδ' ἄτη· θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· οὔρεσι δὲ δρῦς,
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι.
τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν.
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές, οὐδ' ἐπὶ νηῶν
νείσονται· καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖσδε δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ,
ὅς τις ἀλιτραίνει, καὶ ἀτάσθαλα μηχανάαται·
τοῖσιν οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί·
οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅ γε τεῖχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

ὦ βα-

magnos oculos habet aut magna vocem

Indicat virum bonum et iustis nihil esse opus negociatione

hos versus citat Aeschines in oratione qui adversus Ctesiphontem eand. sententia plato Utitur [secundo] decimo de Legibus.

ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι λεύσσουσιν ὅσοι σκολιῇσι δίκῃσι
ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες·
τρὶς γὰρ μύριοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι ζηνὸς φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν·
ἡ δέ τε παρθένος ἐστὶ δίκη διὸς ἐκγεγαυῖα,
κυδνή τ' αἰδοίη τε θεοῖς, οἳ ὄλυμπον ἔχουσιν·
καί ῥ' ὁπότ' ἄν τις μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ διῒ πατρὶ καθεζομένη κρονίωνι
γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
δῆμος ἀτασθαλίας βασιλήων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνουσι δίκας σκολιῶς ἐνέποντες·
ταῦτα φυλασσόμενοι βασιλῆες ἰθύνετε μύθους
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
οἷ αὐτῷ κακὰ τεύχει ἀνήρ, ἄλλῳ κακὰ τεύχων.
ἡ δὲ κακὴ βουλή, τῷ βουλεύσαντι κακίστη.
πάντα ἰδὼν διὸς ὀφθαλμός, καὶ πάντα νοήσας·
καί νυ τάδ' αἴκ' ἐθέλησ' ἐπιδέρκεται, οὐδέ ἑ λήθει
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει·
νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱός. ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει·

ἀλλὰ

[Margin notes:]
et iusta opera et iniusta
Iniuria afficiat
λύων pro Unica syllaba capiendū
Vide apud erasmū in prouerbio malum consilium consultori pessimum et apud gellium libri quarti ca. 5.
hos septē deinceps versus tanquā adulterinos plutarchus obelisco transfodit quod et proclus agnoscit. autem hesiodi esse censet ut sit κατὰ ὑπόθεσιν σχῆμα. i. sub conditione ... nihil referre quales simus si multae sint
Stesichorus, Lyricus poeta, vel Aristeas, vel ...

ἀλλὰ τά γ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον·
ὦ πέρση· σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν,
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν·
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς
ἔσθειν ἀλλήλους· ἐπεὶ οὐ δίκη ἐστὶν ἐπ' αὐτοῖς.
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται· εἰ γάρ τις κε θέλῃ τὰ δίκαι' ἀγορεύειν
γινώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη·
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων·
σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω μέγα νήπιε πέρση·
τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι
ῥηϊδίως· ὀλίγη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει·
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν,
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα·
οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει,
φρασσάμενος, τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
ὃς δέ κε μήθ' αὐτῷ νοέῃ, μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήϊος ἀνήρ·

ἀλλὰ

constituta poena et praemia, sunt autem constituta poenae et praemia multum igitur refert benefacere.

ἀάσθη pro βλάβη a verbo ἀάω.

tibi bene cupiens

hos versus citat cicero in epistolis familiaribus libro sexto [illegible] et Xenophon libro secundo commentariorum et plato libro quarto de legibus

hi versus citantur ab aristotele libro primo moralium ad nicomachum quam sententiam elegantissime transtulit Livius tertia decade.

ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς,
ἐργάζευ πέρση δῖον γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δὲ ἐυστέφανος δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πιμπλῆσι καλιήν.
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ κηφήνεσσι κοθούροις εἴκελος ὁρμήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν
ἔσσεαι, ἠδὲ βροτοῖς. μάλα γὰρ στυγέουσιν ἀεργούς.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα. πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον,
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
εἰς ἔργον τρέψας μελετᾷς βίου, ὥς σε κελεύω.
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.
αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω.
εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅ γ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλὰ
γίγνεται,

γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ,
ῥεῖα τέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον
ἀνέρι τῷ· παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
ἶσον δ' ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξει·
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνοι
κρυπταδίης εὐνῆς ἀλόχου παρακαίρια ῥέζων,
ὅς τέ του ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα,
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν,
τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται· ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν·
ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν,
κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν,
ἄλλοτε δὴ σπονδῇσι θυέεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ·
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν,
ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος·
τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι·
τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει·
εἰ γάρ τοι καὶ χρῆμα ἐγχώριον ἄλλο γένηται,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.
πῆμα κακὸς γείτων, ὅσον τ' ἀγαθὸς μέγ' ὄνειαρ·
ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.

ἀλιταίνεται· laedit et offendit.
ἐν τῷ γήρᾳ.
hic locus a platone citatur libro primo politicorum vide apud erasmum in proverbio limen senectae
Infinitivus pro imperativo.
athenaeus scribit hoc loco secundum esse hesiodi sententiam expressissimum proverbium longe amicos habitantes non esse amicos multo vero melius homerum praecepisse qui agamemnona scribit ad suae communia [illegible] solitum graecorum praestantissimum quamquam nulla habita ratione propinquitatis et longinquitatis.
Vide apologum de cassita apud gellium capite nono libri secundi.

οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη·
εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι
αὐτῷ τῷ μέτρῳ, καὶ λώιον αἴ κε δύνηαι,
ὡς ἂν χρηίζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς·
μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν·
τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι·
καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ·
δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔ τις ἔδωκεν·
δὼς ἀγαθή· ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα·
ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅ γε κἂν μέγα δώῃ,
χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐόν, τότ' ἐπάχνωσεν φίλον ἦτορ·
εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο·
ὃς δ' ἐπ' ἐόντι φέρει, ὁ δ' ἀλύξεται αἴθοπα λιμόν·
οὐδὲ τόγ' ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει·
οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι·
ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηίζειν ἀπεόντος· ἅ σε φράζεσθαι ἄνωγα,
ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι, δειλὴ δ' ἐνὶ πυθμένι φειδώ·
μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω·
καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι·
πίστεις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας·

Hic versus citatur a Plutarcho in libro quomodo oporteat iuvenes poemata audire.

Hos versus refert Plutarchus ut quibus ... a praestandis prioris loco beneficiis vide Plutarchum ... in proverbio.

Vide apud Erasmum in proverbiis sera in fundo parsimonia. Item in medio dolii optimum est quoniam ... optimum est illud servare.

Vide apud Erasmum in proverbio fiducia perdidit.

Vel excitans lacertos ἀπὸ πυγῆς, cubitus

hic versus optativus est pro imperativo

μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν·
ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσι·
μουνογενὴς δὲ παῖς σώζοι πατρῶϊον οἶκον
φερβέμεν· ὡς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι·
γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων·
ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον·
πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη·
σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσι,
ὧδ' ἔρδειν. ἔργον δ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

ortu matutino

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
π ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων.
αἳ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν·
γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
ἔργα κομίζεσθαι Δημήτερος, ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μήπως τὰ μέταξυ χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς.
ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω· ἐργάζευ νήπιε Πέρση

ἔργα,

ἔργα, τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μή ποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν·
δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις,
ἀχρεῖος δ' ἔσται ἐπέων νομός· ἀλλά σ' ἄνωγα
φράζεσθαι χρειῶν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.
οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν τ' ἀροτῆρα,
κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο·
χρήματα δ' ἐν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον·
μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, ἔς τ' ἔνηφιν.
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει·
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄταισι παλαίει.
ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος· μετὰ δὲ τρέπεται βρότεος χρώς,
πολλὸν ἐλαφρότερος· δὴ γὰρ τότε σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ,
ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιο τε λήγει,
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον·

designant et signa. Ita ut coniectare et designare sit facile.

ἀλέω fugio.

hic versus citatur ab aristotele libro 1 politicorum

Iubeo te habere

mensis 7: εἰς τὴν ἔνην in diem trigesimum. aristophanes eandem diem ἔνην καὶ νέαν vocat. 7. veterem et renascentem sive novam. Latine de interlunium. 7. intermestris luna ten confinium decrescentis et renascentis lunae, quod ἔνην καὶ νέαν pro calendis capiunt qui dies etiam νουμηνία.

in autumno.

* propter vehementiam caloris quando maxima ad capita nostra accedit.

7. sol interdum canis, canicula

ἔρα· terra

ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν·
ἄξονα θ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενος οὕτω·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦράν κε τάμοιο.
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ
πόλλ' ἐπικαμπύλα κᾶλα, φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς
εἰς οἶκον, κατ' ὄρος διζήμενος ἢ κατ' ἄρουραν, (ἐρῆς)
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ' ἂν ἀθηναίης δμῶος ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἱσοβοῆϊ.
δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν· ἐπεὶ πολὺ λώϊον οὕτω·
εἴ χ' ἕτερόν γ' ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱσοβοῆες.
δρυὸς ἔλυμα· πρίνου γύης· βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι (τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν)
ἥβης μέτρον ἔχοντε, τὼ ἐργάζεσθαι ἀρίστω.
οὐκ ἂν τώ γ' ἐρίσαντες ἐν αὔλακι κὰμ μὲν ἄροτρον
ἄξειαν, τὸ δ' ἔργον ἐτώσιον αὖθι λίποιεν.
τοῖς δ' ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
ἄρτον δειπνήσας τετράτρυφον ὀκτάβλωμον,
ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔτι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσασθαι, καὶ ἐπισπορίην ἀλέασθαι.
κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.

φεχ-

Hunc locum Vergilius Libro primo georgicon imitatur, continuo in sylvis magna vi flexa domatur

βλωμὸς, i. frusta panis, buccea, et buccella offella

mandare terrae semina

φράζεσθαι δ', εὖτ' ἂν φωνὴν γεράνου ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,
ἥτ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ, κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω, — carentis bobus.
δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας. — * nigros vel curvos / Galeatas tortuosa.
ῥηΐδιον γὰρ ἔπος εἰπεῖν βόε δὸς καὶ ἄμαξαν.
ῥηΐδιον δ' ἀπανήνασθαι, πάρα δ' ἔργα βόεσσιν.
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν, — sua opinione dives vel / per antiphrasin i. demens
νήπιος· οὐδὲ τό γ', οἶδ' ἑκατὸν δέ τε δούρατ' ἀμάξης, — vide apud erasmum in / proverbiis centum plaustri
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήια θέσθαι. — trabes.
εὖτ' ἂν δὴ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς
αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
ἦρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν. — non lutosam non humidam.
νειὸς ἀλεξιάρη παίδων εὐκηλήτειρα. — quae modo animum agere multum / fructus affert agricolae in / terra non irritatur, nec in / blasphemias rumpunt quod / terra solet arridere cum / segetes votis non respondet
εὔχεσθαι δὲ Διὶ χθονίῳ Δημήτορί θ' ἁγνῇ
ἐκτελέα βρίθειν Δημήτορος ἱερὸν ἀκτήν,
ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅτ' ἂν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι — τὰ μέσαβα sunt iugi ...
ἔνδρυον ἑλκόντων μεσάβων. ὁ δὲ τυτθὸς ὄπισθεν — vel ... lora ... quibus
δμῶος ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη, — iugum ad temonem alligatur.
σπέρμα κατακρύπτων. εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.

ὧδέ κεν ἀδροσύνῃ στάχυες νεύοιεν ἔραζε·
εἰ τέλος αὐτὸς ὄπισθεν ὀλύμπιος ἐσθλὸν ὀπάζοι,
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια, καί σ' ἔολπα
γηθήσειν βιότοιο ἀρεύμενον ἔνδον ἐόντος.
εὐοχέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι, σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόῃς χθόνα δῖαν,
ἥμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων, κεκονιμένος, οὐ μάλα χαίρων·
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται·
ἄλλοτε δ' ἀλλοῖος ζηνὸς νόος αἰγιόχοιο·
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι·
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τὸ πρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
τῆμος ζεὺς ὕοι τρίτῳ ἤματι· μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι·
ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γινόμενον πολιόν, μήθ' ὥριος ὄμβρος.
πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπ' ἀλέα λέσχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρας ἔργων
ἰσχάνει, ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλοι,
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.

πολλὰ

Vide apud erasmum in proverbio araneas eiicere exturbanda προεργάζω[?] ... quod fit in copia et satietate

rara et distantia nam quae spissa sunt ... dicuntur e regione se habere sed sunt vel ἀντία it. opposita et conculcata propter brevitatem.

per triduum

officinae fabrorum ferrariorum olim omnibus adire volentibus patebant. Vide propter sui calefaciendi gratia illic hyeme desidentes et confabulantes tempus terebant.

tabescunt qui esuriunt; ... tabem autem pedes intumescunt et reliqua corpus gracile fit ut docet aristo. quaestione quinta sectionis primae problematum. Vide apud erasmum in prove... maculenta manu pingue pedem.

πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.
δείκνυε δὲ δμώεσσι θέρευς ἔτι μέσσου ἐόντος
οὐκ αἰεὶ θέρος ἐσσεῖται· ποιεῖσθε καλιάς.
μῆνα δὲ Ληναιῶνα κάκ' ἤματα, βούδορα πάντα,
τοῦ που ἀλεύασθαι καὶ πηγάδας, αἵ τ' ἐπὶ γαῖαν
πνεύσαντος Βορέαο δυσηλεγέες τελέθουσι.
ὅς τε διὰ Θρήκης ἱπποτρόφου εὐρέϊ πόντῳ
ἐμπνεύσας ὤρινε. μέμυκε δὲ γαῖα καὶ ὕλη.
πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων· καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο.
τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων.
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται· οὐδέ μιν ἴσχει.
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔτι
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
ἲς ἀνέμου Βορέαο· τροχαλὸν δὲ γέροντα τίθησι.
καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥ τε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει,
οὔπω ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης,
εὖ τε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ

Vide apud erasmum in proverbio Non semper erit aestas.

sic dictum ἀπὸ τῶν ληνῶν i. a torcularibus quod eo mense in bacchi honorem diem festum agebant, quae ambrosia vocabatur. ut scribit interpres.

a verbo ἀλέγω curo.

ἢ μυχάομαι vel ostenditur frigore et clauditur a μύω.

pro cauda ut nervi et ossibus constantes frigori magis sunt obnoxia.

Aristoteles tamen oves etiam frigore laedi scribit libri octavi capite decimo

quia puellae dum nubunt dote magna viris sui afferunt.

pro λιπαρῷ

χρισαμένη νυχίη καταλέξεται ἔνδοθι οἴκου
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει,
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἐν ἤθεσι λευγαλέοισιν·
οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι,
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ πανελλήνεσσι φαείνει·
καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μυλιόωντες ἀνὰ δρύα βησσήεντα
φεύγουσιν, καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἶσοι,
οὗ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται·
τῷ ἴκελοι φοιτῶσιν ἀλευόμενοι νίφα λευκήν·
καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω,
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα·
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι·
μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα·
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας·
πρωτογόνων δ' ἐρίφων, ὁπόταν κρύος ὥριον ἔλθῃ,
δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην, κεφαλῆφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ.
ψυχρὴ γάρ τ' ἠὼς πέλεται βορέαο πεσόντος·

ἠῷος

vult tamen falsum esse scribit Aristoteles et plerique polypum sua brachia rodere falsum opinio est, id enim a congris illi evenit, vide Erasmum in prover. cum ex osse suum rodit pedem

a verbo στρέφω

7. νιφάδας nive vel nivis imbrem

laena vestis laenea

7. κρόκη. ea trama mollior est quam stamen

ut corium sit valentius quae boum morbo aut senio absumpti

laena carpta

Talium haedorum pelles sint valentiores, quippe qui parentibus aetate florentibus et robustis sint progeniti.

quod sponse faciunt

intellige omnes septentrionales

Vide apud Aristotelem quaestione decima octava sectione decima problematum

ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις·
ὅς τε ἀρυσάμενος ποταμῶν ἄπο αἰεναόντων
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
ἄλλοτε μὲν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι
πυκνὰ θρηικίου βορέου νέφεα κλονέοντος.
τὸν φθάμενος ἔργα τελέσας, οἶκον δὲ νέεσθαι. *ἔργον
μή ποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ·
χρῶτα τε μυδαλέον θείῃ, κατά θ' εἵματα δεύσῃ.
ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
τῆμος θ' ὤμισυ βουσίν, ἐπ' ἀνδρὶ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί·
ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν
ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰσόκεν αὖτις
γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.
εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον ὠκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος.
τὸν δὲ μετ' ὀρθογόη πανδιονὶς ὦρτο χελιδὼν
ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
τὴν φθάμενος, οἴνας περιταμνέμεν· ὡς γὰρ ἄμεινον.
ἀλλ' ὁπόταν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ
πληιάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων,

ἀλλ'

propterea quod ex aqua soleat aura et vapores absolvi vi caloris in terra propter circumstans frigus recepti et inclusi. Ζ ἀντιπερίστασιν.

pro plus stabilisse.

τὸ ἥμισυ, dimidium. dimidium pabuli dari soliti quia tum boves minus laborant quia frigus hominum corpora invadit vide calor intro receptus et contentus plus cibi absumit.

ἀρκτοῦρος stella supra media circa arctophylaxis singulariter proditur oritur una cum virgine quando sol est in piscibus.

hirundo que fuit filia pandionis regis. vide apud ovidium libro sexto metamorphoseos.

a calendis martii usque in decimum calendas aprilis.

ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν,
φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον,
ὥρῃ ἐν ἀμήτου, ὅτε τ' ἠέλιος χρόα κάρφει·
τημοῦτος σπεύδειν καὶ οἴκαδε καρπὸν ἀγείρειν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη.
ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν·
ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου.
ἠώς, ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσι δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος,
μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τοι ἄνδρες
εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος· ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε σκιὴ καὶ βίβλινος οἶνος,
μάζα τ' ἀμολγαίη, γάλα τ' αἰγῶν σβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον
ἐν σκιῇ ἑζόμενον κεκορημένον ἦτορ ἐδωδῆς
ἀντίον ἀκραέος ζεφύρου τρέψαντα πρόσωπον,
κρήνης τ' ἀενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος,
τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
δμωσὶ δ' ἐποτρύνειν δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν,

plinius capite vicesimo secundo libri xx. σκόλυμον quoque in cibos recipit oriens et alio nomine limonium appellat; frutex est numquam cubitali altior cristisque foliorum et radice nigra, sed dulci, et scolymus quod est ... cinara, cardus a gaza vertitur, vulg. artichaut.

Vir est natura calidior et siccior mulieribus humidis frigidisque unde per aestatem mulieribus calor est mediocris, largior viris quam satis sit, qui vires frangit et debilitat. Aristo. quaestione vigesima nona sectionis 4 problematum.

Radio tam depulsio a lacte.

θολὸς ater humor sepiarum. θολόω turbo ... tres partes aquae.

aiunt physici alarum frequenti concussione cicadam vocem emittere. Unde proverbium cicadam ala corripuisti. aristoteles. Sinbit attritu spiritum canere.

a regione thracia biblina vel a biblia vite vel a biblo flumine thraciae.

a verbo μέλγω mulgeo.

Vel sub eo te sedente bibere.

δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος ὠρίωνος,
χώρῳ ἐν εὐαεῖ καὶ εὐτροχάλῳ ἐν ἀλωῇ·
μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν· αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθεν οἴκου,
θῆτ' ἄοικον ποιεῖσθαι καὶ ἄτεκνον ἔριθον
δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·
καὶ κύνα καρχαρόδοντα κομεῖν μὴ φείδεο σίτου·
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήματ' ἕληται.
χόρτον δ' ἐσκομίσαι καὶ συρφετὸν ὄφρα τοι εἴη
βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν· αὐτὰρ ἔπειτα,
δμῶας ἀναψῦξαι φίλα γούνατα, καὶ βόε λῦσαι.
εὖτ' ἂν δ' ὠρίων καὶ σείριος ἐς μέσον ἔλθῃ
οὐρανόν, ἀρκτοῦρον δ' ἐσίδῃ ῥοδοδάκτυλος ἠώς,
ὦ πέρση, τότε πάντας ἀποδρέπειν οἴκαδε βότρυς·
δεῖξαι δ' ἠελίῳ δέκα ἤματα καὶ δέκα νύκτας·
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα διωνύσου πολυγηθέος· αὐτὰρ ἐπὴν δὴ
πληιάδες θ' ὑάδες τε τό τε σθένος ὠρίωνος
δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου, πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη·
εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν πληιάδες σθένος ὄβριμον ὠρίωνος
φεύγουσαι πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θυίουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ·

γῆν δ'

orion cum tauro toto corpore exurgit ut stribit [?] virgilius tauro et geminis propinquus a quo oriona distat sirius pauco intervallo. sexto calendas Iunii orion oritur, ut scribit plinius.

proprie de vacca dicitur vitulum habente sub porti [?]. iuvenca.

dentes serratos habete acutos et asperos et inter se pectinatim coeuntes.

faragine

oriente cum virgine orion matutino.

autumnali tempore per mensem septembre cum sol est sub libra. cum sol transit in libra tunc virgo oritur orion matutino una cum arcturo quo tempore in medium caelum iam venit orion propinquus geminis signo quarto a libra sex ante signa sub super terra et totidem in altero hemisphaerio, medium vero caeli obtinet id signum quod a sole oriente factum est ut docet proclus.

γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω·
νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος·
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ,
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι,
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον εἰσόκεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν· ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι·
ὥσπερ ἐμός τε πατὴρ καὶ σὸς μέγα νήπιε πέρση,
πλωΐζεσκεν νηυσὶ βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τῇδ' ἦλθε πολὺν διὰ πόντον ἀνύσας
κύμην αἰολίδα προλιπών, ἐν νηῒ μελαίνῃ,
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν ζεὺς ἄνδρεσσι δίδωσι.
νάσσατο δ' ἄγχ' ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ.
ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
τύνη δ' ὦ πέρση ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.
νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι.
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν,
βούλεαι δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ,

δείξω

aqua enim extenuata aer efficitur vel ventus

clavus est cum paxillo quo foramen in navis carina obstruitur et quod foramen navis in siccum tracta aqua in sentina collecta emittunt

e regione Lesbi Asia

esset patria sua quae vitabilis aestas causa est agricolae musa docere

αἰνεῖν, παραιτεῖσθαι, recusare et laudare significat. Ut docet Plutarchus in libro qui inscribitur quomodo iuvenes oporteat audire poëmata. Sic Virgilius libro 2 Georg. laudato ingentia rura, exiguum colito. Alii laudare hic exponunt modica nave quantum ad traiectum quantum autem ad negociationem magno navigio utendum.

suspende ut siccetur

a solstitiis aestivo scilicet 50 dies quinquaginta ad finem aestatis

propter halitum humiditate hieme frigora et aestate aestu et ardore vexatur.

vel ab ἄτλοι· lato vel ab ἄω· spiro

δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος, οὔτε τι νηῶν.
οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ εἰς εὔβοιαν ἐξ αὐλίδος, ᾗ ποτ' ἀχαιοὶ
μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
ἑλλάδος ἐξ ἱερῆς, ξοίην ἐς καλλιγύναικα.
ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος ἀμφιδάμαντος
χαλκίδα τ' εἰσεπέρησα, τὰ δὲ προπεφραδμένα πολλὰ
ἄεθλ' ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα με φημὶ
ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.
τὸν μὲν ἐγὼ μούσῃς ἑλικωνιάδεσσ' ἀνέθηκα.
ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων.
ἀλλὰ καὶ ὣς ἐρέω ζηνὸς νόον αἰγιόχοιο.
μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο
ἐς τέλος ἐλθόντος θέρεος καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις, οὔτ' ἄνδρας ἀποφθείσειε θάλασσα,
εἰ μὴ δὴ πρόφρων γε ποσειδάων ἐνοσίχθων
ἢ ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι.
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
τῆμος δ' εὐκρινέες τ' αὖραι, καὶ πόντος ἀπήμων
εὔκηλος· τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον, φόρτον δ' ἐς πάντα τίθεσθαι,

σπεύδειν

sic dicta ab eubea Iovis nutrice.

rex eubeae qui cum adversus erithrienses bello navali pugnasset interfectus est.

πας syllaba cum sit longa tamen quia parte orationis terminat, fit communis inquit [illegible]

ita aqua terraemotus causa est.

In neptuno quidem ut enim maris obtigerit imperium, in Iove autem quia aerem pelagus variis modis moveat atque agitet nam post solstitium aestivum flare solet etesiae i. stati anniversariique aquilones qui venti sunt liquidi et puri his deinde succedunt austri pluvii aeris[illegible] et fluminum turbatores

σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι,
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον
καὶ χειμῶν' ἐπιόντα νότοιό τε δεινὰς ἀήτας,
ὅστ' ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν.
ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν,
ἦμος δὴ τὸ πρῶτον ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανείη
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα.
εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
αἴνημ'. οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
ἁρπακτός. χαλεπῶς κε φύγοις κακόν, ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο.
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν. ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὡς σ' ἀγορεύω.
μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι,
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι.
δεινὸν δ' εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας
ἄξονα καυάξαις, τὰ δὲ φορτί' ἀμαυρωθείη.
μέτρα φυλάσσεσθαι. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριήκοντα ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά. γάμος δέ τοι ὥριος οὗτος.

ἡ δὲ

quia anima ignea est vnde extingui videtur in aquae elemento contrario.

Plato libro quarto de Legibus.

Plinius capite 6 libri 18 modum ostendit tamen omnium utilissimum.

quatuor annis post decem

ἡ δὲ γυνὴ τέτορ' ἡβῷη, πέμπτῳ δὲ γαμοῖτο·
παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
τήνδε μάλιστα γαμεῖν, ἥτις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς
οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο
δειπνολόχης, ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκεν.
εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δέ κεν ἄρχῃ
ἤτι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τίνυσθαι μεμνημένος. εἰ δέ κεν αὖθις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι· δειλός τις ἀνὴρ φίλον ἄλλο τε ἄλλον
ποιεῖται· σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
μηδὲ πολύξεινον, μηδ' ἄξεινον καλέεσθαι.
μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νεικεστῆρα.
μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων·
γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς· πλείστη δὲ χάρις κατὰ μέζον ἰούσης.
εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι.

multos amicos neque et hospites recipientis

quae praeter mariti voluntatem aliorum conuiuiis interesit vel quae marito insidiatur propter prandia vel clam marito bibat

ὄπις φροντις cura respectus consyderatio mandatum vltio diuina quae a tergo sequitur

si alium tibi adiunxeris et amicum feceris quem inde ac fratrem colueris.

Si incipiat te vel verbo vel facto laedere.

ita autem mente vultus ne coarguat ei contrarius. i. noli vultu mente tegere

Habeat omne veteris iniuriae iram ne memineris.

Vide apud aristotelem Capitulo 10 Libri noni moralium ad nicomachum

Lingua cohibenda locat Aris. Capite sexto libri 4. mor. alium ad nicomachum

Homerus ὁπποῖον κ' ἔπος εἴπῃσθα τοῖον ἀκούσαις.

ἐκ

Praecipit caerimonias et ritus sacros tradere

Dicit magna cum veneratione esse sacrificandum. Velut interpres exponit ne alia dearum... Vide apud Erasmum in prover. Illotis manibus.

His verbis homines tam ab occulta quam ab aperta impudentia abducit, allegorice ante hoc, in propatulo et publice nihil procedendi liberis operam dare.

ἐκ κοινοῦ πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη·
μηδέ ποτ' ἐξ ἠοῦς διὶ λείβειν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοις, μηδ' ἄλλοις ἀθανάτοισιν·
οὐ γὰρ τοί γε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.
μηδ' ἄντ' ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένος ἔς τ' ἀνιόντα,
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς,
μηδ' ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν·
ἑζόμενος δ' ὅ γε θεῖος ἀνήρ, πεπνυμένα εἰδώς,
ἢ ὅ γε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν οἴκου
ἱστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
μηδ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι.
μηδέ ποτ' αἰενάων ποταμῶν καλλίρροον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
ὃς ποταμὸν διαβῇ, κακότητι δὲ χεῖρας ἄνιπτος,
τῷ δὲ θεοὶ νεμεσῶσι, καὶ ἄλγεα δῶκαν ὀπίσω.
μηδ' ἀπὸ πεντόζοιο, θεῶν ἐνὶ δαιτὶ θαλείῃ,
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν

μὴ τε

Plinius capite sexto libri vicesimi octavi magi vetant urinae causa contra solem lunamque nudari aut umbra cuiusquam aspergi. Hesiodus

Ubi penatibus et Vestae sacrificatur

Olim cum essent impuri sacrificaturi vino flumine se abluebant. Sunt autem omnibus aquis nymphae praesidentes

Non tales solent esse filii quales sunt parentes qui procreandis liberis operam dant; non a probris probi et ab ebriis ebriosi generantur

Siccum id est summa et extrema parte unguium siccum et vita expertem; allegorice autem id est audi libenter sermones doctorum hominum

Crater vas unde vinum in pateram infunditur et capula

Hoc est ne afferat omni privatim publice neque partem toti neque deteriorem meliori hoc consilium ... 

μή τι ἐφεζομένη κρώξῃ λακέρυζα κορώνη.
μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
ἔσθειν, μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.
μηδ' ἐπ' ἀκινήτοισι καθιζέμεν· οὐ γὰρ ἄμεινον,
παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ·
μηδὲ δυωδεκάμηνον· ἴσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀΐδηλα· θεός τοι καὶ τὰ νεμεσσᾷ.
μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι,
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔτι λώϊόν ἐστιν.
ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην·
φήμη γάρ τε κακὴ πέλεται· κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι·
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίζουσι· θεός νύ τις ἐστὶ καὶ αὐτή.

ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν (στην,
πεφραδέμεν δμώεσσι· τριηκάδα μηνὸς ἀρί-
ἔργα τ' ἐποπτεύειν, ἠδ' ἁρμαλιὴν δατέασθαι,
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς παρὰ μητιόεντος.
πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ·

a verbo ῥέζω sacrifico.

allegorice viros pro patribus ...

Aristoteles capite 13 libri 7 moralium.

Vnde et eius cithara ἐπ[ιλεγ]εδος

Sunt tonei. quia luna crescens dat rebus humores et incrementum. quia his diebus luna solem aspicit aspectu trigono et benefico. nam plus habet luminis.

ad hoc enim multo lumine est opus. minimum animal formica sentit vim sideris interlunio semper gestans. c. ast hi ἱσαμένου μηνὸς. usque ad vigesimam diem olim dicebant inquit plut. propter nimium humorem qui sationi obest plantas autem adiuvat.

quia mas ex sicciori semine generatur, foemina ex humidiori, ut flante austro.

noctu affluente humore et frigido aere unde vulnus minus conveniens obnoxium corruptioni et putredini.

Quia tum luna per se facit speciem bipartitae sectionis, sed falso, quia maior pars adhuc obscura est.

Octavus dies neptuno sacer est, qui deus est validus et valentus unde ἐνοσίχθων dictus. itaque hos et apros ... ssima animalia ad eum referuntur.

Eixas constat ex duplici decade. ex decade autem pythagorici mundum constare censent.

τῇ γὰρ ἀπόλλωνα χρυσάορα γείνατο λητώ·
ὀγδοάτη τ' ἐνάτη τε δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο, βροτήσια ἔργα πένεσθαι.
ἑνδεκάτη δὲ δυωδεκάτη τ' ἄμφω γε μὲν ἐσθλαί·
ἠμὲν ὄϊς πείκειν· ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·
τῇ γάρ τοι νεῖ νήματ' ἀρτιποτήτος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται.
τῇ δ' ἱστὸν στήσαιτο γυνή, προβάλοιτό τε ἔργον.
μηνὸς δ' ἱσαμένου τρισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι, φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσι.
ἀνδρογόνος τ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν
οὔτε γενέσθαι πρῶτ', οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.
οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃ τε γενέσθαι
ἄρμενος· ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων,
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον ἤπιον ἦμαρ·
ἐσθλὴ δ' ἀνδρογόνος· φιλέει δέ τε κέρτομα βάζειν
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.
μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν· οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
εἰκάδι δ' ἐν μεγάλῃ πλέῳ ἤματι ἴστορα φῶτα
γείνασθαι. μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.
ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη· κούρῃ δέ τε τετρὰς
μέσση· τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς

καὶ

7a decima die luna luminis humoris et caloris particeps marem producit, ex semine satiori quam quo foemina producatur

propter humorem quem tum luna abundat maxime. frequenter inter eundum unde exuberanda bovis vestigia ...

quia tum luna ... decora sit

Dies duodecimus lunae est sacer quo ut quid volit a mulis ...

quartus. 7. decimus quartus ... habentes ...

καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν, ἐπὶ χεῖρα τιθείς· πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε,
ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ·
ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθαι ἐς οἶκον ἄκοιτιν,
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
πέμπτας δ' ἐξαλέασθ' ἐπεὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φασιν ἐριννύας ἀμφιπολεύειν
ὅρκον τιννυμένας, τὸν ἔρις τέκε πῆμ' ἐπιόρκοις.
μέσσῃ δ' ἑβδομάτῃ δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπεύοντα ἐϋτροχάλῳ ἐν ἀλωῇ
βάλλειν, ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα
νήϊά τε ξύλα πολλά, τά τ' ἄρμενα νηυσὶ πέλονται.
τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς·
ἐννὰς δ' ἡ μέσση ἐπιδείελα λώϊον ἦμαρ.
πρωτίστη δ' ἐννὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ τ' ἥδε φυτεύειν, ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί. καὶ οὔποτε πάγκακον ἦμαρ·
παῦροι δ' αὖτ' ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένι θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,
νῆα πολυκλήϊδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι. παῦροι δέ τ' ἀληθέα κικλήσκουσι.
τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέσσῃ. παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην

γ ii

mansuefiunt enim facilius dum humore lunae frigido calor temperatur.

Sic numerus minorum consecratus est qui steriles esse constat, inde omnia sterilia quinta luna nata dicuntur, ut orcus fluminae.

Omnia luna tunc decrescente minuuntur et humores, unde secare frumentum et ad caedendum aptius et id etiam quatenus venti ventillantibus commodi.

certa quadam modulatione et harmonia cui tetras respondet, vel quia navi firmitudine magna opus est, nam ut monas puncto dias lineae, et trias superficiei, sic tetras solido corpori et tetragono respondet.

quia tunc minus feroces.

Trahendae navigationis caussa.

epilogus

ἠοῦς γινομένης· ἐπιδείελα δ' ἐστὶ χερείων.
(inertes ut inefficaces) αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ·
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔτι φέρουσαι·
ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν
ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

Erasmus in proverbiis: Ipsa dies quandoque parens quandoque noverca. et gellius de diebus atris.

τέλος.

ἐν τῇ τῶν παρισίων, μετὰ γειτνιῶνος μηνός,
ἔτει πρώτῳ καὶ τεσσαρακοστῷ ἐπὶ τοῖς
χιλίοις καὶ πεντακοσίοις.

Virgilius libro 1. georgicon de alternatione dierum. Ipsa dies alios alio dedit ordine Luna felices operum. (capite 32 libri 18.) Plinius tamen capite 40 libri 7. nullis dierum (terminis fatalibus) fidem adhibendam esse monet, et Chaldaei ut Laertius dicebat ... respondere solent, ut scribit columella capite 1. libri undecimi de re rustica. (quantum ad foelicitatem aut secus)

# ΜΑΓΙΚΑ ΛΟΓΙΑ ΤΩΝ ΑΠΟ ΤΟΥ ΖΩΡΟΑΣΤΡΟΥ ΜΑΓΩΝ.

Δίζεο σὺ ψυχῆς ὀχετὸν, ὅθεν, ἢ τίνι τάξει,
σώματι θητεύσας, ἐς τάξιν ἀφ' ἧς ἐρρύηκας,
αὖθις ἀναστήσεις, ἱερῷ λόγῳ ἔργον ἑνώσας·
μὴ δὲ κάτω νεύσῃς· κρημνὸς κατὰ γῆς ὑπόκειται,
ἑπταπόρου σύρων κατὰ βαθμίδος, ἣν ὑπὸ δεινῆς
ἀνάγκης θρόνος ἐστίν·
σὸν γὰρ ἀγγεῖον, θῆρες χθονὸς οἰκήσουσιν·
μὴ σύ γ' αὔξανε τὴν εἱμαρμένην·
οὐ γὰρ ἀπὸ πατρικῆς ἀρχῆς ἀτελές τι τροχάζει·
ἀλλ' οὐκ εἰς δέχεται κείνης τὸ θέλειν πατρικὸς νοῦς,
μέχρις ἂν ἐξέλθῃ λήθης, καὶ ῥῆμα λαλήσῃ,
μνήμην ἐνθεμένη, πατρικοῦ συνθήματος ἁγνοῦ.
χρή σε σπεύδειν πρὸς τὸ φάος, καὶ πρὸς πατρὸς αὐγὰς,
ἔνθεν ἐπέμφθη σοι ψυχὴ πολὺν ἑσσαμένη νοῦν·
αὐτοὺς ἢ χθὼν αὖ κατοδύρεται ἐς τέκνα μέχρις·
ψυχῆς ἐξωστῆρες ἀνάπνοοι εὔλυτοί εἰσιν.
λαιοῖς ἐν λαγόσιν κοίτης, ἀρετῆς πέλε πηγή·
ἔνδον ὅλη μίμνουσα, τὸ παρθένον οὐ προϊεῖσα.
ψυχὴ ἡ μερόπων, θεὸν ἄγξει πως ἐς ἑαυτήν,
οὐδὲν θνητὸν ἔχουσα, ὅλη θεόθεν μεμέθυσαι·
ἁρμονίαν αὐχεῖ γὰρ, ὑφ' ᾗ πέλε σῶμα βρότειον·

ὅτι

ὅττι ψυχή, πῦρ δυνάμει πατρὸς οὖσα φαεινόν,
ἀθάνατός τε μένει, καὶ ζωῆς δεσπότις ἐστί.
καὶ ἴσχει κόσμου πολλὰ πληρώματα κόλπων.
ζήτησον παράδεισον.
μὴ πνεῦμα μολύνῃς, μὴ δὲ βαθύνῃς τὸ ἐπίπεδον.
ἔστι καὶ εἰδώλῳ μερὶς εἰς τόπον ἀμφιφάοντα.
μὴ δὲ τὸ τῆς ὕλης σκύβαλον κρημνῷ καταλείψῃς.
μὴ ἐξάξῃς, ἵνα μὴ ἐξιοῦσα ἔχῃ τι.
ἐκτείνας πύρινον νοῦν
ἔργον ἐπ' εὐσεβίης, ῥευστὸν καὶ σῶμα σαώσεις.
ἐκ δ' ἄρα κόλπων γαίης θρώσκουσ' οὔποτ' ἀληθὲς
σῆμα βροτῷ ἀνδρὶ χθόνιοι κύνες δεικνύοντες.
φύσις πείθει εἶναι τοὺς δαίμονας ἁγνούς,
καὶ τὰ κακῆς ὕλης βλαστήματα χρηστὰ καὶ ἐσθλά.
αἱ ποιναὶ μερόπων ἀγκτεῖραι.
ἡγείσθω ψυχῆς βάθος ἄμβροτον. ὄμματα δ' ἄρδην,
πάντ' ἐκπέτασον ἄνω.
ὦ τολμηροτάτης φύσεως ἄνθρωπε τέχνασμα.
πολλάκις ἢν λέξῃς μοι, ἀθρήσεις πάντῃ λεκτόν.
οὔτε γὰρ οὐρανὸς, κυρτὸς τε φαίνεται ὄγκος.
ἀστέρες οὐ λάμπουσι, τὸ μήνης φῶς κεκάλυπται.
χθὼν οὐχ ἕστηκε, βλέπεται δὲ τὰ πάντα κεραυνοί.
μὴ φύσεως καλέσῃς αὐτόπτον ἄγαλμα.
πάντοθεν ἀπλάστῳ ψυχῇ, πυρὸς ἡνία τεῖνον.
ἡνίκα μὲν βλέψῃς μορφῆς ἄτερ εὔιερον πῦρ

λαμ-

---

Marginalia (left): i. corpus aetherum. Vehiculum ipsius animae humanae quod [illegible] animatum autem alte[r] ipsius animi irrationalis [illegible] forma, quod animi [illegible] [illegible] simulacrum dicitur. — ex hoc mortali corpore et congenitis ipsi affectibus nondum satis compositis quae initiatur facies. — quae si conferatur cum caeteris naturis minimum boni habet. i. quae vilior est caeteris. — hoc dicit deus ei qui initiatur. — ne invocaveris: i. ne [illegible] videre. — qui se tibi in sacris ostendit.

Marginalia (right): ἐπίπεδον vocat non quod non triplici dimentione distinctum longitudine latitudine et profunditate, sed magnam eius tenuitatem significat. — a verbo ἄγχω.

λαμπόμενον σκιρτηδὸν ὅλου κατὰ βένθεα κόσμου,
κλῦθι πυρὸς τὴν φωνήν·
σύμβολα πατρικὸς νόος ἐνέσπειρεν ταῖς ψυχαῖς·
μάνθανε τὸ νοητόν, ἐπεὶ νόου ἔξω ὑπάρχει·
ἔστι δὲ δή τι νοητόν, ὃ χρή σε νοεῖν νόου ἄνθει·
εἰσὶν πάντα πυρὸς ἑνὸς ἐκγεγαῶτα·
πάντα γὰρ ἐξετέλεσσε πατήρ, καὶ νῷ παρέδωκε
δευτέρῳ, ὃν πρῶτον κληΐζετε ἔθνεα ἀνδρῶν·
νοούμεναι ἴυγγες πατρόθεν νοέουσι καὶ αὐταί,
βουλαῖς ἀφθέγκτοισι κινούμεναι ὥστε νοῆσαι.
ὦ πῶς κόσμος ἔχει νοεροὺς ἀνοχῆας ἀκαμπεῖς·
ἑαυτὸν ὁ πατὴρ ἥρπασεν,
οὐδ' ἐν ἑῇ δυνάμει νοερᾷ κλείσας ἴδιον πῦρ·
οὔτε πατὴρ φόβον ἐνθρώσκει, πειθὼ δ' ἐπιχεύει·

τέλος·